Εἴ τις οὖν παράκλησις ἐν Χριστῷ,
εἴ τι παραμύθιον ἀγάπης,
εἴ τις κοινωνία Πνεύματος,
εἴ τις σπλάγχνα καὶ οἰκτιρμοί,

πληρώσατέ μου τὴν χαρὰν, ἵνα

τὸ αὐτὸ φρονῆτε,
τὴν αὐτὴν ἀγάπην ἔχοντες,
σύμψυχοι τὸ ἓν φρονοῦντες,

μηδὲν κατ᾽ ἐρίθειαν ἢ κενοδοξίαν, ἀλλὰ τῇ ταπεινοφροσύνῃ ἀλλήλους ἡγούμενοι ὑπερέχοντας ἑαυτῶν,

μὴ τὰ ἑαυτῶν ἕκαστος σκοπεῖτε ἀλλὰ καὶ τὰ ἑτέρων ἕκαστος.

τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ,

[ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων]

οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλὰ ἑαυτὸν ἐκένωσεν [μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος,]

[καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος]

ἐταπείνωσεν ἑαυτὸν [γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ.]

διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε
καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα,

ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων
καὶ ἐπιγείων καὶ καταχθονίων,
καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται
ὅτι Κύριος Ἰησοῦς Χριστὸς
εἰς δόξαν Θεοῦ πατρός.